www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἅγιον Προφήτην Δανιήλ καὶ τοὺς τρεῖς Παῖδας

Ἦχος πλ.δ'

Ἅγιον Ὄρος

2018

*Ἱλαρίωνος Μοναχοῦ*

# Κανὼν εἰς τὸν Ἅγιον Προφήτην Δανιήλ, καὶ τοὺς τρεῖς Παῖδας, οὗ ἡ ἀκροστιχίς κατ' «Ἀλφάβητον», ἐν δὲ τοῖς Θεοτοκίοις «Ἱλαρίων Μ.» Ἦχος πλ.δ΄.

*Ὠιδὴ Α΄ Ἁρματηλάτην Φαραώ.*

Ἀνοίξει Λόγε τοῦ στόματος, τοῦ ῥυπαροῦ μου τὴν σήν, χάριν μοι παράσχου, καὶ τὸν νοῦν ἐνίσχυσον, ἀξίως ᾠδὴν ἔνθεον, Προφητῶν τοῦ μεγίστου, τοῦ Δανιὴλ καὶ τὸν θίασον, Παίδων τῶν τριῶν ὅπως ἄσωμαι.

Βαβυλωνίαν γῆν οἰκῶν μακάριε, τῆς πατρικῆς Δανιήλ, εὐσεβῶς ὤφθης, ὅλως ἀντεχόμενος, διόπερ ἀναδέδειξαι, τοῦ Κυρίου προφήτης, ὑποσημήνας ἐν Πνεύματι, τούτου τὴν σωτήριον σάρκωσιν.

Γῆς ἀλλοτρίας ἀλλοτρίων πάνσοφοι, ὡς ἀψηφοῦντες θεσμῶν, ἅγιοι Τρεῖς Παῖδες, ἐν καμίνῳ ὤφθητε, πυρὸς ἀδιαλώβητοι, τῆς Πανάγνου Παρθένου, ὑποτυποῦντες σαφέστατα, τόκον τὸν πανάφθορον ἔνδοξοι.

*Θεοτοκίον.*

Ἴαμα Κόρη τοῦ βροτείου γέγονας, γένους τεκοῦσα Θεόν, καὶ μετὰ τὸν τόκον, ὤφθης Ἀειπάρθενος, κἀμὲ νῦν ὡς νοσήσαντα, ἀνιάτως παράσχου, τῷ σῷ ἱκέτῃ τὴν ἴασιν, καὶ γὰρ ὅσα βούλει καὶ δύνασαι.

*Ὠιδὴ Γ΄ Οὐρανίας ἀψῖδος.*

Δανιὴλ τὸν προφήτην, μυσταγωγὸν ἔνθεον, καὶ ἑρμηνευτὴν τῶν μελλόντων, παναληθέστατον ὕμνοις γεραίρομεν, τῶν ὁραμάτων τὴν λύσιν, βασιλέως ἔναντι διατρανώσαντα.

Εἰδεχθοῦς δυσσεβείας, ἐν Δεηρᾷ ἅγιοι, λάτρας τῷ πεδίῳ τρεῖς Παῖδες, κατηκοντήσαντες, νόμων πατρώων σοφοί, ἐχόμενοι ἀνενδότως, τοῦ Θεοῦ θεράποντες, ὡς γνησιώτατοι.

Ζῶν ἐξῆλθες ἐξ λάκκου τοῦ τῶν θηρῶν ἔνδοξοι, Δανιὴλ προφήτα καὶ Παῖδες οἱ οὐρανόφρονες ἀδιαλώβητοι, ἐν τῇ καμίνῳ ὑμνοῦντες, τὸν τῶν πάντων Κύριον, ἄσμασιν ὤφθησαν.

*Θεοτοκίον.*

Λογισμῶν ἀκαθάρτων, τὸν φοβερὸν κλύδωνα, κόπασον Παρθένε τοῦ δούλου τοῦ σοῦ καὶ χάρισαι, γαλήνην ὅπως σου, τῶν θαυμασίων τὰ πλήθη, ἐν ἐνθέοις ἔπεσι, μέλπει Πανύμνητε.

*Ὠιδὴ Δ΄ Εἰσακήκοα Κύριε.*

Ἡ σοφία ἡ ἄνωθεν, Δανιὴλ προφῆτα καθοδηγήσασα, καὶ ἐμπνεύσασα ἐλύτρωσες, τὴν Σωσάνναν μάκαρ θανατώσεως.

Θεοφόρων ἀνέμελπε, ἡ τριὰς ἐν μέσῳ φλογὸς τὸν Κύριον, τὸν Θεὸν ὕμνον κραυγάζουσα, σὺ εἶ πάντων Κτίστης καὶ Θεὸς ἡμῶν.

Ἱεροῖς μελωδήμασι, Δανιὴλ γεραίρομεν τὸν πανένδοξον, καὶ τοὺς Τρεῖς Παῖδας αἰτούμενοι, τῶν παραπτωμάτων τὴν συγχώρησιν.

*Θεοτοκίον.*

Ἀπορούμενον πάντοθεν, καὶ ἐν πίστει Κόρη σοὶ καταφεύγοντα, τῶν παθῶν μου τὴν σκοτόμαιναν, τῇ ἀμέτρῳ λῦσον εὐσπλαγχνίᾳ σου.

*Ὠιδὴ Ε΄ Φώτισον ἡμᾶς.*

Κάτοπτρον σαφῶς, δεκτικῶν θείων ἐμφάσεων, καθαρὸν ἐδείχθης ἔνδοξε Δανιὴλ ὑποφητεύων Θεοῦ τὴν ἐνανθρώπησιν.

Λύχνοι παμφανεῖς, καταυγάζοντες ἐδείχθητε, ἐν τῇ γῇ τῆς ἀθεΐας τὸν τοῦ Θεοῦ, λαὸν τρεῖς Παῖδες, διόπερ μακαρίζεσθε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μετὰ τῶν τριῶν θεοφόρων Παίδων ἄσμασι, ὑμνήσωμεν συνάμα τὸν Δανιήλ, τῶν τοῦ Κυρίου, ἀρρήτων τοὺς ἐκφάντορας.

*Θεοτοκίον.*

Ῥοῦν τῶν ἡδονῶν Θεοτόκε ἀναχαίτησον, καὶ βαίνειν με παράσχου ὡς ἀγαθή, πρὸς μετανοίας, τὰς τρίβους τὸν ἱκέτην σου.

*ᾨδὴ ΣΤ΄ Ἱλάσθητί μοι Σωτήρ.*

Νεανικῶς Δανιήλ, προφῆτα τῷ θείῳ Πνεύματι, ἀντιταχθεὶς δυσσεβεῖ, κρατοῦντος προστάγματι, ἐν λάκκῳ ἐγκέκλεισαι, τῷ Θεῷ σοι θύσω, ἐν φωνῇ μέλπων αἰνέσεως.

Ξοάνοις νέμειν σοφοί, οὐ θέμις ὅλως προσκύνησιν, ἀντέφητε βασιλεῖ, τοῦ ταῦτα κελεύοντος, τρεῖς Παῖδες μακάριοι, διὸ ἐν καμίνῳ, τοῦ πυρὸς ἔνδον ἐβλήθητε.

Ὁ θίασος τῶν πιστῶν, χορὸν τὸν θεῖον ὑμνήσωμεν, θεσπέσιε Δανιήλ, βοῶντες καὶ ἔνδοξοι, τρεῖς Παῖδες ἐκ θλίψεων, τοὺς Ὑμᾶς τιμῶντας, ἐκ κινδύνων περισώσατε.

*Θεοτοκίον.*

Ἰλύϊ τῇ τῶν παθῶν, ἐγκυλισθέντα Πανάχραντε, καὶ ἐξελθεῖν οὐδαμῶς, τὸν ἄθλιον σθένοντα, σύ με τῇ δυνάμει σου, τῇ ἀφάτῳ Κόρη, ἐλευθέρωσον τὸν δοῦλόν σου.

*ᾨδὴ Ζ΄ Παῖδες Ἑβραίων.*

Πόρρω προεῖδες τοῦ Κυρίου, τὴν ἐν σώματι ἐμφάνειαν προφῆτα, καὶ ἐνθέοις φωναῖς, ἐβόας γηθοσύνως, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητός εἶ.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ῥύμην φλογὸς τὴν ἐν καμίνῳ, διαδράσαντες τρεῖς Παῖδες τῷ Κυρίῳ, σὺν Ἀγγέλῳ ᾠδήν, ὤφθητε μελῳδοῦντες, ὁ τῶν Πατέρων Κύριος καὶ Θεὸς εὐλογητός εἶ.

Σώσατε πάντας τοὺς ὑμνοῦντας, Ὑμᾶς ἅγιοι ἐκ πειρασμῶν παντοίων, καὶ δεινῶν συμφορῶν, καὶ πάσης ἐπηρείας, τοῦ βροτοκτόνου δράκοντος, ὡς θεράποντες τοῦ Κτίστου.

*Θεοτοκίον.*

Ὡς τοῦ Θεοῦ καὶ Λόγου Μήτηρ, τῇ ἀρρήτῳ σου δυνάμει τὸν σὸν δοῦλον, τῶν αἰσχίστων παθῶν, ἀπάλλαξον Παρθένε, ὅπως τῶν θαυμασίων σου, τὴν πληθὺν ἐν ὕμνοις μέλπω.

*Ὠιδὴ Η΄ Ἑπταπλασίως κάμινον.*

Τὸν τοῦ Θεοῦ θεράποντα, καὶ προφήτην πανένδοξον, Δανιὴλ τὸν μέγαν, ἐν ᾠδαῖς καὶ ἄσμασι, ἀξίως ὑμνήσωμεν, ἀναβοῶντες τῷ Λυτρωτῇ, καὶ Δημιουργῷ, καὶ ἀγαθῶν τῷ δοτῆρι, πρεσβείαις ἐλεῆμον, τοῦ προφήτου σου πᾶσι, τὴν ἄφεσιν παράσχου, ἡμῖν τῶν ἐπταισμένων.

Ὑπερφυῶς μακάριοι, ἐν φλογὶ διεμείνατε, ἀσινεῖς τρεῖς Παῖδες, τῆς σεπτῆς ἰσάριθμοι, Τριάδος καὶ ὤφθητε, ἐν μέσῳ ταύτης μελωδικῶς, τῷ Δημιουργῷ, προσαναφέροντες ὕμνον, Θεὲ Πατέρων πίστει, καὶ πόθῳ εὐλογοῦμεν, καὶ σὲ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Φωτοειδεῖς ἐκλάμποντες, θεοφόροι ἐδείχθητε, τοῖς ἐσκοτισμένοις, ὡς ἀστέρες ἔθνεσι, Θεὸς γὰρ ἐν θαύμασιν, ὑμᾶς ἐδόξασεν ἐν τῇ γῇ, καὶ ἐν οὐρανοῖς, μετὰ Ἀγγέλων συνόντες, χορεύετε ἀπαύστως, τὸν Πατέρα ὑμνοῦντες, καὶ τὸν Υἱὸν καὶ Λόγον καὶ τὸ Ἅγιον Πνεῦμα.

*Θεοτοκίον.*

*Ἱλαρίωνος Μοναχοῦ*

Νενοσηκότι Δέσποινα, ἐκ παιδὸς μὴ παρίδῃς με, σοὶ προσπεφευγότι, ἀλλ' ἱλέῳ ὄμματι, ἐμβλέψασα δώρησαι, τὴν ἰατρείαν ὡς ἀγαθή, ἡ τῇ τῶν βροτῶν, φύσει τὴν ἴασιν μόνη, τεκοῦσα ἵν' ἀπαύστως, ἀνυμνῶ σε Παρθένε, καὶ ἀεὶ εὐλογῶ σε εἰς πάντας τοὺς αἰῶνας.

*Ὠιδὴ Θ' Ἐξέστη ἐπὶ τούτῳ.*

Χορεῖαι δεῦτε πᾶσαι τῶν εὐσεβῶν, ὀρθοδόξων τελέσαι συνδράμωμεν, τὴν ἱερὰν καὶ κοσμοχαρμόσυνον ἑορτήν, τοῦ προφητῶν ἐξάρχοντος, καὶ Χριστοῦ θεράποντος Δανιήλ, ἵνα ἀεὶ πρεσβεύῃ, αὐτῷ ἡμῖν δοθῆναι, ἀμπλακημάτων τὴν συγχώρησιν.

Ψυχῶν καὶ τῶν σωμάτων ὡς ἰατροί, πεφυκότες τρεῖς Παῖδες μακάριοι, τῷ τοῦ Θεοῦ, θρόνῳ παριστάμενοι ἐκτενῶς, μὴ παύσησθε δεόμενοι, Ἀνανία ἔνδοξε Μισαήλ, καὶ θεῖε Ἀζαρία, Χριστῷ ἡμῖν δοθῆναι, τῶν πειρασμῶν τὴν ἀπολύτρωσιν.

Ὡς πύργοι ἀρραγέστατοι τῆς σεπτῆς τοῦ Χριστοῦ Ἐκκλησίας πανεύφημοι, ταύτην ἀεί, τῆς τῶν καινολόγων ἐπιβουλῆς, στερρῶς περιφρουρήσατε, καὶ τῆς ἐμφανείας διὰ σαρκός, τοῦ Λόγου ὡς προφῆται, τῇ τρίβῳ ταύτῃ βαίνειν, τῇ ὀρθοδόξῳ κατευθύνατε.

*Θεοτοκίον.*

Μὴ παύσῃ Παναγία πρὸς τὸν Θεόν, καὶ Υἱόν σου προσάγειν πρεσβείας σου, τὰς μητρικάς, τοῦ διαφυλάττεσθαι ἐσαεί, ἀλώβητον τὸ Ἅγιον, τοῦτονὶ τὸ Ὄρος Κόρη τὸ σόν, ἐχθρῶν ἐξ ἀλαστόρων, τῶν μεταρρυθμιστέων, τοῦτο καμνόντων καιναῖς ῥήσεσι.

*Προσόμοια. Ὢ τοῦ παραδόξου θαύματος. Ἦχος πλ.δ'*

Λόγου τοῦ Θεοῦ τὴν σάρκωσιν, διατρανώσας σαφῶς, Δανιὴλ ἐν ὁράματι, ὠράθης τοῦ ἄνακτος, μὴ προσχὼν σοι κελεύοντος, ἄθεσμα

πράττειν, τούτου μακάριε, ὅθεν ἐν λάκκῳ, λεόντων βέβλησαι, καὶ συντηρούμενος, ἀσινὴς ἐκραύγαζες τῷ Λυτρωτῇ, σὺ εἶ ὁ λυτρούμενος τὸν Ἰσραὴλ ὁ Θεός.

Ἄλογον θυμὸν μὴ πτήξασα, ὁσίων Παίδων τριάς, τοῦ τυράννου ἐμβέβληται, τῇ καμίνῳ αἴνεσιν ἐναρμόνιον ᾄδουσα, δροσιζομένη ὤφθη τὸν Κύριον, πάντα τὰ ἔργα ὑμνοῦμεν ἀπαύστως, καὶ εὐλογοῦμέν σε, καὶ ὑπερυψοῦμέν σε μόνε Θεέ, τῶν Πατέρων Κύριε, εἰς τοὺς αἰῶνας, ἀμήν.

Θείων προφητῶν πανέντιμος, παρεμβολὴ καὶ σεπτή, Δανιὴλ παμμακάριστε, καὶ τρεῖς Παῖδες ἔνδοξοι, τοὺς Ὑμᾶς μακαρίζοντας, καὶ ἀνυμνοῦντας κινδύνων σώσατε, καὶ μετανοίας καθωδηγήσατε, πρὸς τὴν σωτήριον, τρίβον τὸν φιλάνθρωπον Θεὸν ἡμῶν, δυσωποῦντες ἅγιοι, εὐχαῖς ταῖς θείαις ὑμῶν.

Ὢ τοῦ παραδόξου θαύματος, ὢ μυστηρίου φρικτοῦ, πῶς σαρκὸς ὡμοιώματι, ὤφθη ὁ ἀόρατος ἑνωθεὶς καθ' ὑπόστασιν, τῷ ἐκ Παρθένου Ἁγνῆς προσλήμματι καὶ διαμείνας ὃ ἦν τὸ πρότερον, εἰς ἀνακαίνισιν, τοῦ βροτείου πλάσματος, τοῦ ἐν Ἐδέμ, φθόνῳ πρὶν τοῦ δράκοντος, παραπεσόντος φθορᾷ.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ